# TEZAUR LITURGIC

## 27 SEPTEMBRIE

## MELETIE SIRIGUL

# SLUJBA

## SF.CUVIOŞI

# IGNATIE,VASILE ŞI LUCA

## DE LA

# VALEA ADÂNCĂ-OLIMPUL BITINIEI

**ATENA,2010**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 27 ΣΕΠΤΕΜΒΡΙΟΣ
# ΣΥΝΑΞΙΣ ΤΩΝ ΟΣΙΩΝ ΚΑΘΗΓΟΥΜΕΝΩΝ ΤΗΣ ΙΕΡΑΣ ΜΟΝΗΣ ΤΟΥ ΒΑΘΕΩΣ ΡΥΑΚΟΣ ΙΓΝΑΤΙΟΥ, ΒΑΣΙΛΕΙΟΥ & ΛΟΥΚΑ

## Ποίημα Μελέτιος Συρίγος

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

*Ὁ Προοιμιακός, καὶ τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους η΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια στ΄. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.*

Τοῦ Χριστοῦ τὸ γεώργιον, ὡς ὁ Παῦλος Βασίλειε, ὀρθῶς κατεφύτευσας ὡς Παράδεισον, ὁ δὲ Λουκᾶς καὶ Ἰγνάτιος, πανσόφως κατήρδευσαν, διδαγμάτων προχοαῖς, ὁ Θεὸς δὲ ἐπηύξησε, καὶ ἐδόξασε, τὴν Μονὴν εὐκαρποῦσαν ἀναδείξας, καὶ ἀντιδιδοὺς τῶν πόνων, μισθὸν ὑμῖν τὸν ἐπάξιον. *(Δίς)*

Ἐν τῷ κόσμῳ ὡς πάροικοι, ἐν σαρκὶ παρεπίδημοι, ἐποφθέντες Ἅγιοι ἀπηρνήσασθε, ἐπιθυμίας τοῦ σώματος, αἵτινες στρατεύονται, σαφῶς κατὰ τῆς ψυχῆς, πρὸς δὲ μόνον τὴν ἔφεσιν, τὸν ποιήσαντα, ἀνατείναντες ὅλην ἀνενδότως, ἐχορτάσθητε τῇ δόξῃ, τῇ ἐκ Θεοῦ ἐποφθείσῃ ὑμῖν. *(Δίς)*

Τὰς ὀσφύας ζωσάμενοι, τῆς ψυχῆς ὑμῶν Ὅσιοι, γήφοντες ἐν ἅπασι τελειότατα, ἐπὶ τὴν χάριν τὴν ἔνθεον, ἥνπερ ἀπεκάλυψεν, ὁ Υἱὸς τοῦ Θεοῦ, συνετῶς ἐπηλπίσατε καὶ ἐφθάσατε, πρὸς τὴν νύσσαν τῆς θείας Βασιλείας, ὥσπερ τέκνα εὐπειθείας, θεομακάριστοι Ὅσιοι.

Τοῖς ἰδίοις ὁ Κύριος, ἐγκελεύει θεράπουσιν, ὡς ἐκεῖνος πέφυκε φύσει Ἅγιος, οὕτω καὶ τούτους μεθέξεσιν, Ἁγίους ὑπάρξαντας, ἐν καλῇ ἀναστροφῇ, ἀναστρέφεσθαι πάντοτε, καὶ στοιχίζεσθαι, τῷ αὐτοῦ θείῳ φόβῳ ὥσπερ τέκνα, τοῦ Πατρὸς τοῦ Οὐρανίου, οἷς καὶ ἡμεῖς ἠριθμήθητε.

*Δόξα. Ἦχος πλ. β΄.*

Μακάριοι Δέσποτα ὄντως εἰσίν, οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ Σου, ὡς ὁ Προφήτης Σου προκατήγγειλε, καθ' ἑκάστην γὰρ ἡμέραν, αἰνοῦντες καὶ εὐλογοῦντες, τὸ ὄνομά Σου τὸ Ἅγιον, κατὰ τὸν παρόντα αἰῶνα, αἰνέσουσί Σε πάντως, καὶ μετὰ θάνατον, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ὅπερ εἰδότες, Βασίλειός τε καὶ Ἰγνάτιος καὶ Λουκᾶς, οἱ ὁμόφρονες, παρὰ Σοῦ ᾐτήσαντο, τὸ κατοικεῖν αὐτους ἐν τῷ οἴκῳ Σου, πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν, ου καὶ τυχόντες, ἐν οὐρανοῖς νῦν, μετὰ Ἀγγέλων συναγάλλονται, ἔνθα ὁ καθαρός, τῶν ἑορταζόντων ἦχος, αὐτῶν ταῖς παρακλήσεσι, Χριστὲ ὁ Θεός, τῷ λαῷ Σου τους οἰκτιρμούς Σου κατάπεμψον, καὶ ταῖς ψυχαῖς ἡμῶν, τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον.*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν

δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα*

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (γ΄ 1-9).*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (δ΄ 7-15).*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (ε΄15-23,στ΄1-3).*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν.

Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε· μάθετε Δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Εἰς τὸν Στίχον. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.*

Νόμῳ θείῳ πειθόμενοι, θεοφόροι μακάριοι, πάσαις ὑπετάγητε ἀρχαῖς ἄριστα, καὶ βασιλεῦσι καὶ ἄρχουσι, Χριστὸν μεγαλύνουσιν, ἀρνουμένοις δὲ αὐτοῦ, τῆς μορφῆς τὸ ἐκτύπωμα, καὶ βιάζουσιν, εἰς ταὐτὸ καὶ ὑμᾶς τότε Δεσπότου, θείῳ ζήλῳ ὡς Ἠλίας, ἀντεκατέστητε ἔνδοξοι.

Στ.: *Θαυμαστὸς ὁ Θεός, ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Τῇ στοργῇ πρὸς τὸν Κτίσαντα, ἐκκαιόμενοι Ὅσιοι, καὶ δεσμοῖς τοῦ πνεύματος ὡς φιλάδελφοι, συνδεδεμένοι στεῤῥότατα, μάνδραν συνεστήσατε, τῶν θρεμμάτων τοῦ Χριστοῦ, ἣν τῇ πίστει ἑδράσαντες, ἀνεδείξατε, νοσσιὰν τῶν καλλίστων σπουδασμάτων,

χρυσὸν ἄργυρον καὶ λίθους, ἐπὶ τὴν βάσιν προσθέμενοι.

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Ἐπὶ λίθον ἀκρόγωνον, ὥσπερ ζῶντες τῷ πνεύματι, λίθοι ἁρμοσάμενοι ἀνεδείχθητε, οἶκος Κυρίου πανάγιος, ἐν ᾧ τεθησαύριστο, ἁγιότητος πηγή, διὰ τοῦτο ἐδείμασθε, καὶ ναὸν σεπτόν, ἀνυμνοῦντες ἐκεῖσε τὸν Δεσπότην, ἐν ψαλμοῖς καὶ ὑμνωδίαις, καὶ ἀναιμάκτοις θυσίαις τε.

*Δόξα. Ἦχος γ΄.*

Πῶς μὴ θαυμάσωμεν, τοὺς γενναιοτάτους ὑμῶν, ἀγῶνας μακάριοι, τὰς μακράς νηστείας, καὶ τῆξιν τοῦ σώματος, τὰς ἀδιαλείπτους προσευχάς, καὶ δακρύων τὰ χεύματα, τὰς πυκνὰς χαμευνίας καὶ τὰς παννύχους στάσεις, τὴν τρυφὴν ὑμῶν, τὴν ἀνάγνωσιν τῶν ἱερῶν λογίων, τὴν ἐν τοῖς πειρασμοῖς, ὑπομονὴν καὶ πραότητα, τὴν πτωχείαν τὴν ἑκούσιον, καὶ τὴν πρὸς τοὺς πένητας συμπάθειαν, τὴν πρὸς τὸν Δεσπότην, εὐγνωμοσύνην ἐν ταῖς θλίψεσι. Δι’ ὧν ἐπὶ γῆς ὄντες, ὡς ἐν οὐρανοῖς ἐπολιτεύεσθε. Μηδενὸς τῶν γηΐνων, ὑμᾶς καθέλκοντος εἰς τὰ ἐπίκηρα, ὅθεν καὶ παῤῥησίας, τυχόντες πρὸς Θεόν, Αὐτὸν ἱκετεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἀσπόρως ἐκ θείου Πνεύματος, βουλήσει δὲ Πατρός, συνείληφας Υἱὸν τὸν τοῦ Θεοῦ, ἐκ Πατρὸς ἀμήτορα, πρὸ τῶν αἰώνων ὑπάρχοντα, δι' ἡμᾶς δὲ ἐκ σοῦ

ἀπάτορα γεγονότα, σαρκὶ ἀπεκύησας, καὶ βρέφος ἐγαλούχησας. Διὸ μὴ παύσῃ πρεσβεύειν, τοῦ λυτρωθῆναι κινδύνων τὰς ψυχὰς ἡμων.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον.*

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν...

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α' στιχολογίαν,*

*κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Μελετῶν ἐν ἡμέρᾳ τε καὶ νυκτί, ἐν τῷ νόμῳ Κυρίου Πάτερ σοφέ, Βασίλειε ἔνδοξε, ὥσπερ δένδρον ὑψίκομον, ἀνεδείχθης ὄντως, ὑδάτων ἐν ῥεύμασι, φυτευθὲν εὐκαίρους καρποὺς προβαλλόμενον, ὅθεν καὶ ἑτέροις, γεγονὼς ποδηγέτης, ναὸν ᾠκοδόμησας, τῷ Σωτῆρι ἐν Ῥύακι, βαθυτάτῳ μακάριε, προσκαλούμενος ἅπαντας, χείμαῤῥον τρυφῆς τῆς νοητῆς, ποτισθέντες οὔποτε διψήσητε, ὡς γοῦν ἔλαφοι πόθῳ προσδράμετε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἐνθυμοῦμαι τὴν κρίσιν καὶ δειλιῶ...

*Μετὰ τὴν β΄ στιχολογίαν,*
*κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ιωσήφ.*

Ἀπὸ βρέφους τῷ Θεῷ, ἀνατεθεὶς ὡς Σαμουήλ, καὶ τῷ γάλακτι σοφέ, τῷ τῆς ἀσκήσεως τραφείς, ἐν ἀκακίᾳ ηὐξήθεις καὶ σωφροσύνῃ, Βασίλειον καὶ γάρ, θεῖον τὸν γνήσιον, μυοῦντά σε καλῶς, ἔσχες Ἰγνάτιε, ἀγώνων τὰ παλαίσματα, καὶ τὸν πρὸς δράκοντα πόλεμον, ὃν καὶ νικήσας, στεφανηφόρος, τῷ Κυρίῳ παρίστασαι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Κατεπλάγησαν Ἁγνή, πάντες Ἀγγέλων οἱ χοροί, τὸ Μυστήριον τῆς σῆς, κυοφορίας τὸ φρικτόν, πῶς ὁ τὰ πάντα συνέχων νεύματι μόνῳ, ἀγκάλαις ὡς βροτός, ταῖς σαῖς συνέχεται, καὶ δέχεται ἀρχὴν ὁ Προαιώνιος, καὶ γαλουχεῖται σύμπασαν ὁ τρέφων, πνοὴν ἀφάτῳ χρηστότητι, καὶ σὲ ὡς ὄντως, Θεοῦ Μητέρα, εὐφημοῦντες δοξάζουσι.

*Μετὰ τὸν Πολυέλεον,*
*κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ιωσήφ.*

Μνημονεύων ἐσαεί, τῶν ἡγουμένων σου Λουκᾶ, λαλησάντων σοι ὀρθῶς, τὴν τοῦ Κυρίου διδαχήν, καὶ θεωρήσας τὴν ἔκβασιν τὴν ἀρίστην, τῆς τούτων βιωτῆς, κατηκολούθησας, τοῖς ἴχνεσιν αὐτῶν, Πάτερ μιμούμενος, τὴν πίστιν καὶ τὴν ἄσκησιν, ἐν θεωρίᾳ καὶ πράξεσι, διὸ σὺν τρόποις, ἐπαπολαύεις, τῶν χαρίτων τῆς ἄνω ζωῆς.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Κατεπλάγη Ἰωσήφ, τὸ ὑπὲρ φύσιν θεωρῶν, καὶ ἐλάμβανεν εἰς νοῦν, τὸν ἐπὶ πόκον ὑετὸν, ἐν τῇ ἀσπόρῳ συλλήψει σου Θεοτόκε, βάτον ἐν πυρὶ ἀκατάφλεκτον, ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν, καὶ μαρτυρῶν ὁ Μνήστωρ σου καὶ φύλαξ, τοῖς Ἱερεῦσιν ἐκραύγαζε· Παρθένος τίκτει, καὶ μετὰ τόκον, πάλιν μένει παρθένος.

Τὸ α' ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Θαυμαστὸς ὁ Θεός, ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον Ὁσιακόν.

Ὁ Ν΄ ψαλμός.

Δόξα: *Ταῖς τῶν Σῶν Ὁσίων...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

*Πῶς μὴ θαυμάσωμεν, τοὺς γενναιοτάτους ὑμῶν, ἀγῶνας μακάριοι...* (βλέπε δοξαστικὸν ἀποστίχων ἑσπερινοῦ.)

Εἶτα οἱ Κανόνες· ὁ Κανὼν τῆς Θεοτόκου· καὶ τῶν Ἁγίων εἰς στ΄, οὗ ἡ ἀκροστιχίς: *Ἡγουμένους τρεῖς προφρόνως ἐπαινέσω. Μελέτιος.*

*Ὠδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον.*

Ἡμέρα πνευματικῆς ἀνέτειλεν, ἀγαλλιάσεως, τὴν λαμπροφόρον φέρουσα πιστοῖς, ἑορτὴν τῶν Ἁγίων ἀνδρῶν, Σὺ δὲ παντάρχα δώρησαι, χάριν τοῦ ταύτην συγκροτήσασθαι.

Γενναίως ἐπιβαλὼν τὴν χεῖρά σου, Πάτερ Βασίλειε, ἐπὶ τὸ θεῖον ἄροτρον Χριστοῦ, καὶ ζυγὸν τὸν χρηστότατον, οὐκ ἀπεστράφης ὄπισθεν, ἕως οὗ ἄρτος Θεῷ γέγονας.

Ὁ Κάρμηλος Ἠλιοῦ ἐξέπληττε, τὴν σὴν διάνοιαν, καὶ ἡ τοῦ Προδρόμου οἴκησις διό, ἀπὸ βρέφους ἐξέκλινας, τὰς πόλεις αὐλιζόμενος, ἐν ταῖς ἐρήμοις ὦ Ἰγνάτιε.

Ὑπῆλθες τῆς ἀρετῆς τὸ στάδιον, Λουκᾶ θεόπνευστε, γενναιοτάτῳ ὄντως λογισμῷ, καὶ τὴν τρίβον διήνυσας, τὴν τεθλιμμένην ὅθεν σε, Χριστὸν ἐπλάτυνεν ἐν θλίψεσι.

*Θεοτοκίον.*

Μητέρα Σε τοῦ Θεοῦ γινώσκομεν, Παρθένε ἄχραντε, ὡς ἡνωμένον τέξασαν βροτόν, τῇ ἀστέκτῳ θεότητι, τὸν Λόγον τὸν ἀΐδιον, Ὃν ἀνυμνοῦντές σὲ δοξάζομεν.

*Ὠδὴ γ΄. Εὐφραίνεται ἐπὶ Σοί.*

Ἑνώσει θεοτερπεῖ, συνδεδεμένοι οἱ τριττοὶ Ὅσιοι, ἔσχον ἀεὶ σύσκηνον, τὴν θείαν Τριάδα τὴν ἄκτιστον.

Ναμάτων ὄντως φθαρτῶν, ἐκ τοῦ χειμάῤῥοῦ Ἠλιοῦ ἤντλησε, ῥύαξ ὑμᾶς δ' Ὅσιοι, τρυφῆς τὸν χείμαῤῥουν ἐπότισε.

Ὃν τρόπον ἐπιποθεῖ, ἐπὶ τὰς πηγὰς τὰς αἰσθητὰς ἔλαφος, οὕτως ὑμεῖς Ὅσιοι, εἰς πηγὴν ζωῆς προσεδράμετε.

Ὑψώσατε πρὸς Θεόν, τὸν ἰσχυρόν τε καὶ ζωὴν πρύτανιν, πᾶσαν ὑμῶν ἔφεσιν, καὶ Τριάδος μύσται γεγόνατε.

*Θεοτοκίον.*

Σὲ τεῖχος καταφυγῆς, καὶ προστασίαν οἱ πιστοὶ ἔχομεν, ῥῦσαι ἡμᾶς πάναγνε, πάσης ἐπηρείας καὶ θλίψεως.

*Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ἐπήρατε Ὅσιοι, τοὺς ψυχικοὺς ὀφθαλμούς, ὑμῶν εἰς μετάρσια, ὄρη σεπτῶν ἀρετῶν, κἀκεῖθεν βοήθειαν, εὕρατε τὸν Κύριον, ὑμᾶς ἑλκόντος ἄνω, καὶ καταβαλλομένου, καθελκούσας κινήσεις, διὸ κοῦφοι τὴν τραχεῖαν, πορείαν ἐδράμετε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ταχὺ προκατάλαβε, πρὶν δουλωθῆναι ἡμᾶς, ἐχθροῖς βλασφημοῦσί Σε, καὶ ἀπειλοῦσιν ἡμῖν, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἄνελε τῷ Σταυρῷ Σου, τοὺς ἡμᾶς πολεμοῦντας, γνώτωσαν πῶς ἰσχύει, Ὀρθοδόξων ἡ πίστιν, πρεσβείαις τῆς Θεοτόκου μόνε Φιλάνθρωπε.

*ᾨδὴ δ΄. Ἐπαρθέντα Σε ἰδοῦσα.*

Ταῖς ἐλάφοις Παντοκράτωρ ἔστησας ὄρη, τὰ Ὑψηλὰ αὐλίζεσθαι, δεικνὺς ἀριδήλως, πάντας τοὺς διψῶντας

τὴν σήν, τερπνὴν ὡραιότητα, ἀπὸ γῆς εἰς ὕψος ἐπαίρεσθαι.

Ῥητορεύει καθ' ἑκάστην πληθὺς Ὁσίων, ἐν ἐρημίᾳ Ὅσιε, τὰ σὰ μεγαλεῖα, μέλπουσα τὴν δόξαν τὴν σήν, καὶ ἔργοις δεικνύουσα, ὡς βουνοὶ καὶ ὄρη αἰνοῦσί σε.

Ἐν κοιλάδι τοῦ κλαυθμῶνος Πατέρες θεῖοι, δακρυῤῥοοῦντες ὤφθητε, ἔναντι Κυρίου, χιόνος λευκότεροι, καὶ ὡς ἀκηλίδωτοι, εἰς χώραν τῶν ζώντων μετήχθητε.

Ἰθυνόμενοι παλάμῃ τῇ ζωηφόρῳ, τῆς κλίμακος ἐπέβητε, τῆς ἐπουρανίου, ἐν η ἐπεστήρικτο, Θεὸς προσδεχόμενος, καὶ ἐπαναπαύων τοὺς κάμνοντας.

*Θεοτοκίον.*

Συντριβεῖαν τῶν ἀνθρώπων τὴν φύσιν ὅλην, ἁμαρτιῶν συνθλάσμασιν, ὁ Υἱός Σου Κόρη, ὡς Πλάστης τῆς φύσεως, ἐκ Σοῦ ἐνδυσάμενος, ταύτην ὁλικῶς ἐθεράπευσε.

*ᾨδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.*

Προθύμως συνάχθητε, οἷάπερ ἐπουράνια, πτηνὰ τῶν Ὁσίων αἱ ἀγέλαι, ὁ ἀποστέλλων καὶ γὰρ πηγὰς δαψιλεῖς, ἐν φάραγξι μέσον τῶν ὀρῶν, καλεῖ πρὸς τὸν ῥύακα, τὸν βαθὺν ἑστιάσων ὑμᾶς.

Ῥανάτωσαν ἄνωθεν, νεφέλαι ἐπουράνιον, βροχὴν τῆς Χριστοῦ δικαιοσύνης, ὄρη δὲ πάντα γλυκασμὸν στάξατε, καὶ δρόσον κατάξατε τῇ γῇ, Προφῆται καὶ Δίκαιοι, σὺν ἡμῖν ἑορτάζοντες.

Ὁ κόσμος τοῦ τάγματος, τῶν ἀσκητῶν ἐξέλαμψε, σήμερον Βασίλειος ὁ θεῖος, σὺν τούτῳ δ’ αὖθις Ἰγνάτιος καὶ Λουκᾶς, φαιδρῶς ἀντανίσχουσιν ἡμῖν, καὶ τοῖς κατορθώμασι, τούτων πάντας αὐγάζουσι.

Φαιδρύνθητε Ὅσιοι, ἀγαλλιᾶσθε Δίκαιοι, ἐπὶ τῷ Κυρίῳ τοῖς εὐθέσι, καὶ γὰρ τῷ ὄντι πρέπει ἡ αἴνεσις, ἡ πρὸς τὸν Θεὸν τὸν τοὺς Αὐτοῦ, Ἁγίους δοξάζοντα, ἐν σημείοις καὶ τέρασι.

*Θεοτοκίον.*

Ῥητόρων κομψότητες, ἐξασθενοῦσι πάναγνε, εἰπειν τὸ μυστήριον τὸ μέγα, τῆς Σῆς λοχείας καὶ παρθενίας Σου, πῶς καὶ παρθενεύεις ἐν ταυτῷ, καὶ τίκτεις τὸν Πλάστην Σου, τὸν προόντα τῆς κτίσεως.

*ᾨδὴ στ΄. Θύσω Σοι μετὰ φωνῆς αἰνέσεως Κύριε.*

Ὅσιοι, καὶ ταπεινοὶ αἰνοῦσί Σε Κύριε, ἐν Ἐκκλησίᾳ γὰρ ὄντως, τῶν Ὁσίων ἐστιν ἡ αἴνεσίς Σου, διὰ τοῦτο, ταῖς εὐχαῖς αὐτῶν σῶσον τοὺς δούλους Σου.

Νίψομαι, ἐν ἀθώοις τὰς χεῖράς μου ἔλεγεν, ἱεροψάλτης διό Σου, οἱ Ἅγιοι Σῶτερ δικαιωθέντες, τῷ λουτῆρι, καθαραῖς ἐν χερσὶ διηκόνουν Σοι.

Ὡς μέγα, καὶ πολὺ τὸν πλῆθος χρηστότητος, τῆς Σῆς παντάρχα ἧς πᾶσι, τοῖς Σε φοβουμένοις ἔκρυψας ὅθεν, οἱ Σοὶ δοῦλοι, ἐν ἀῤῥήτῳ χαρᾷ λειτουργοῦσί Σοι.

Στήσατε, θεοφόροι Πατέρες τὴν φλόγωσιν, τὴν ἀφειδῶς νεμομένην, Ἐκκλησίας πάσας κακεντρεχίᾳ, δυσσεβείας, τὸν Θεὸν ἡμῖν ἵλεων θέμενοι.

*Θεοτοκίον.*

Ἔστησας, ἐν εὐρυχώρῳ τοὺς πόδας μου Κύριε, ὡς ἐχωρήθης ἐν μήτρᾳ, ἀστενοχωρήτως τῇ τῆς Μητρός Σου, καὶ γὰρ ὄντως, τῷ τῆς δόξης Σου πλάτει μὲ ἥδρασας.

*Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.*

Τρισηλίου ἔλλαμψιν, εἰσδεδεγμένη Τριάδος, ἡ Τριὰς ἡ ἔνθεος, τῶν θεοφόρων Πατέρων, ὅλη νῦν, συνεμορφώθη τῇ θείᾳ δόξῃ, λάμπουσα δέ, καταυγάζει ἡμῶν τὰς φρένας, ταῖς ἀκτῖσι τῶν θαυμάτων, ᾗ ἐκβοῶμεν· Χαίροις Πατέρων, Τριὰς Θεοδόξαστε.

*Ὁ Οἶκος.*

Τοὺς τὰ τερπνὰ τοῦ καθ’ ἡμᾶς βίου, ἀρνησαμένους, καὶ πάντα ὥσπερ σκύμβαλα, κόσμον ἀποβαλόντας, καὶ ἐν γῇ μὲν βεβιωκότας, ἐν ἑαυτοῖς δέ, τὴν τῶν Ἀγγέλων πολιτείαν ἐνδεικνυμένους, τοὺς ἐν ὄρεσι καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς, οἰκουντας ἐν Παραδείσῳ δὲ τῆς τρυφῆς, μετὰ τοῦ Θεοῦ Ἀβραὰμ συναγομένους, τρισολβίους Πατέρας, ἐγκωμίων ὕμνοις ἀνευφημήσωμεν. Οὗτοι γάρ, ταῖς τοῦ θηρευτοῦ πλάνου παγίδας, πάσας συντρίψαντες, εἰς οὐρανὸν ὡς στρουθία, κατέπαυσαν εἰς τὰς αἰωνίους Μονὰς ἐφιπτάμενοι. Καὶ τῆς Ἁγίας Τριάδος, τῇ ἀῤῥήτῳ δόξῃ τρανώτερον, νῦν ἐντρυφῶντες, παρ’ ἡμῶν ἀκούουσι· Χαίροις Πατέρων, Τριὰς Θεοδόξαστε.

*Συναξάριον.*

Τῇ ΚΖ' τοῦ αὐτοῦ μηνός, ἡ Σύναξις τῶν τριῶν Ὁσίων καὶ Ἡγουμένων τῆς Μονῆς τοῦ Σωτῆρος Χριστοῦ, τοῦ ἐπιλεγομένου Βαθέος Ῥύακος, Βασιλείου τοῦ καὶ Κτίτορος αὐτῆς, Λουκᾶ καὶ Ἰγνατίου.

*Τῷ Βασιλείῳ τῆς δόξης ὁ Βασιλεύς,*
*Βασιλείαν δέδωκεν ἆθλον τῶν πόνων.*
*Τί κοινὸν ἐστί σοι Λουκᾶ καὶ τῷ βίῳ;*
*Μοναῖς ἄπελθε ταῖς ἐκεῖθεν ἐν τάχει.*
*Τὸν Ἰγνάτιον λαμβάνει Μονὴ Πόλου,*
*Μονῆς προεξάρχοντα, ὡς Θεῷ φίλον.*

*Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ.*

Πεποικιλμένοι, παρεστηκότες θρόνῳ Σου Ἰησοῦ, χρώμασι, ποικίλοις ὄντως τῶν ἀρετῶν, τῶν τοῦ πνεύματος οἱ Ὅσιοι. Εὐλογημένος εἶ, ἐν τῷ Ναῷ τῆς δόξης Σου· κράζουσι.

Ἀναδειχθέντες, ὡς οἰκονόμοι φρόνιμοι τοῦ Χριστοῦ, εὔκαιρον, τροφὴν διδόντες τοῖς ἀδελφοῖς, ἠξιώθητε ὑπάρχουσιν, Αὐτοῦ ἐν ἅπασι, τὴν ἐξουσίαν ἔχειν τρισόλβιοι.

Ἴσην τὴν γνώμην, τοῖς ὀψισθεῖσιν ἄμπελον τοῦ Θεοῦ, ἔχοντες, καὶ μοχλοὺς μᾶλλον ὑπὲρ αὐτούς, ἀπ᾽ ἀρχὴν καταβαλλόμενοι, δίκαιον μίσθωμα, ἐκ χειρὸς τοῦ Κυρίου ἐδέξασθε.

Νοῦν ἡγεμόνα, κατὰ παθῶν οἱ ἔνδοξοι ἀσκηταί, ἔσχον, καὶ γὰρ πνεύματι ἡγεμονικῷ, ὡδηγοῦντο πρὸς

τὰ κρείττονα, συμφώνως ψάλλοντες· Εὐλογημένος εἶ Θεὲ Ὑπεράγαθε.

*Θεοτοκίον.*

Ἐπιλαβέσθαι, Ἀβραμίαιου σπέρματος ὁ Θεός, θέλων, ἵνα σώσῃ γένος τὸ τῶν βροτῶν, οὐκ Ἀγγέλων ἐπελάβετο, ἀλλ’ ἐν Σοὶ Πάναγνε, φύσιν τὴν ἡμῶν ἀνεκαίνισε.

*Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας Δανιήλ.*

Σύνεσιν κτησάμενοι σοφοί, τοῦ θείου Πνεύματις, συνεβιβάσθητε, ἐν ὁδῷ ᾗ ἐπορεύεσθε, τὰς διπλόας δὲ ἐλέγχοντες, τοῦ ἀρχεκάκου πτερνιστοῦ, ὕμνοις ἐκράζετε, τῷ Σωτῆρι· Εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Ὥσπερ ἀβλαβεῖς περιστεραί, καὶ ὄφεις φρόνιμοι, φανέντες Ὅσιοι, τὴν κεφαλὴν ἐτηρήσατε, τὴν ὑμῶν Χριστὸν τὸν Κύριον, ἀκεραιότητι ψυχῆς, καὶ ἀκακίᾳ πολλῇ, ἐκβοῶντες· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Μέγαν ἀντιλήπτορα Θεός, τῇ ποίμνῃ δέδωκε, τῇ σῇ Βασίλειε, ὑπερμαχοῦντά σε πάντοτε, δι’ αὐτὴν ὅθεν προσπίπτουσα, καθικετεύει ἐκτενῶς, λῦσον τὰ σκάνδαλα, τοῦ βελίαρ, καὶ ἀθυμίας τὸ σκότος ἀπέλασον.

Ἔδυς ὁ γλυκὺς ὑπὸ γῆν, καθάπερ ἥλιος, φαιδρὲ Ἰγνάτιε, ἵν’ ὥσπερ σῖτος θαπτόμενος, ἐν αὐτῇ δι’ ἀναστάσεως, ἑκατοστεύοντα καρπόν, οἴσῃς ταῖς χάρισιν, ἀνατέλλων, καὶ ὑπερλάμπων ἀκτῖσι θεότητος.

*Τριαδικόν.*

Λόγοις πειθαρχοῦντες Προφητῶν, Τριάδα τὴν ἄκτιστον, τὴν πάντα κτίσασαν, ἐκ τοῦ μὴ ὄντως βουλήματι, καὶ τηροῦσαν τὴν διάταξιν, αὐτῶν προστάξει ἰσχυρᾷ, ὑμνολογήσωμεν, σὺν Ἀγγέλοις· Ἅγιος Ἅγιος Ἅγιος Κύριος.

*Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος ὄρους.*

Ἔχοντες πολλὴν παῤῥησίαν, πρὸς τὸν Δεσπότην θεοφόροι, ὥσπερ Δανιὴλ καὶ ὁ Νῶε, καὶ ὁ Ἰώβ τε Πάτερ Βασίλειε, Λουκᾶ τε καὶ Ἰγνάτιε, τοῦτον ἡμῖν ἐξιλεώσατε.

Τίμιος ὁ θάνατος ὄντως, τῶν Σῶν Ὁσίων παντεπόπτα, ἔστιν ἐναντίον Σου Λόγε, εἰ καὶ ἀφρόνων ὄμασιν ἔδοξαν, τεθνᾶναι ὥσπερ ἄλογοι, ἀλλ' ἐν Σοὶ πάντως ζῶσι χαίροντες.

Ἵνα Σου ἡ δόξα ὑμνῆται, ἐν οὐρανῷ καὶ ἐν γῇ Λόγε, ἔστησας Ἀγγέλους ἐν ὕψει, ἐν δὲ τοῖς κάτω Ὁσίων τάγματα, γλώσσαις ποικίλαις μέλποντας· μιᾷ δὲ γνώμῃ τὴν Σὴν δύναμιν.

Ὅλης ἐκ ψυχῆς ἀγαπήσας, ὑμᾶς τοὺς φίλους τοῦ Χριστοῦ μου, ὅλῃ προθυμίᾳ τοὺς ὕμνους, μετ' εὐλαβείας προσάγω Ὅσιοι, οὓς εὐμενῶς δεξάμενοι, Θεὸν ἐμοὶ ἐξευμενίσατε.

*Θεοτοκίον.*

Σοὶ τὴν ἀπαρχὴν τῶν Παρθένων, προσπεφευγότες Θεοτόκε, πάντες ἱκετεύομεν πόθῳ, παντὸς κινδύνου

ὑμᾶς ἐκλύτρωσαι, καὶ σῶσον τοὺς ἱκέτας Σου, θεοπειθέσι Σου δεήσεσι.

*Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν,.*

Πατέρων θεῖος σύλλογος, ὑμῶν τοὺς ἀγελάρχας, ἐν ὕμνοις καταστέψατε, ὡς πιστοὺς οἰκονόμους, ποικίλης χάριτος ὄντως, γεγονότας φρονήσει, καὶ πίστει τῇ πρὸς Κύριον, οὓς εὑρὼν ὁ Νυμφίος, ἀπολυθείς, τῶν πανσέπτων γάμων ἐπαγρυπνοῦντας, εἰσήγαγεν εἰς ἄληκτον, βασιλείαν καὶ δόξαν.

*Θεοτοκίον.*

Τριάδος Κόρη τέτοκας, ἀποῤῥήτως τὸν ἕνα, διπλοῦν τῇ φύσει πέλοντα, καὶ διπλοῦν ἐνεργείᾳ, καὶ ἕνα τῇ ὑποστάσει, τοῦτον οὖν ἐκδυσώπει, ἐκ πάσης ἐπιβουλῆς, τοῦ ἐχθροῦ λυτρώσασθαι, ὅτι πάντες, πρὸς Σὲ νῦν καταφεύγομεν, Δέσποινα Θεοτόκε.

*Αἶνοι. Ἦχος δ΄. Ἔδωκας σημείωσιν.*

Ἀμέμπτως ὃς πρόεισιν, ὁδὸν τοῦ βίου καὶ δίκαια, ἐργαζόμενος λέγων τε, ἀεὶ τὴν ἀλήθειαν, ἐν γλώσσῃ ἀδόλῳ, μηδενὶ κακὸν τί, ἀποδιδοὺς ἀντὶ κακοῦ, οὗτος ἐν ὄρει ἁγίω στήσεται, ὡς ὁ Δαβὶδ προήγγειλεν, ἅπερ φυλάξαντας Δέσποτα, τοὺς Ὁσίους Σου ᾤκισας, εἰς Μονὰς τὰς ἁγίας Σου. *(Δίς)*

Ὕπνον ὀφειλόμενον, τὸν τοῖς δικαίοις ὑπέδυτε, θεοφόροι μακάριοι, ὑπνώσαντες ἥδιστα, ἐν εἰρήνῃ θείᾳ, ἐπὶ τὸ αὐτὸ τέ, ἀναπαυθέντες ἐν καλαῖς, ὄντως ἐλπίσιν ἀνταποδόσεως, Χριστὸς γὰρ ἐπηγγείλατο, τοῖς

τὰς ὁδοῦς Αὐτοῦ πράττουσι, βασιλείας ἀσάλευτον, καὶ τρυφῆς ἀδιάδοχον.

Ἵνα τι ἀφέστηκας, μακρόθεν εὔσπλαγχνε Κύριε, ἡμετέραις ἐν θλίψεσιν, ὁρῶν δὲ τὰ σύμπαντα, δοκεῖς παραβλέπειν, τὰς ἡμῶν ὀδύνας, ἐν εὐκαιρίᾳ γὰρ τὴν σήν, οὐκ ἐπεκτείνεις χεῖρα τοῦ ῥύσασθαι, Πατέρες Θεοδόξαστοι, ἡμῶν γὰρ τοῖς ἐγκλήμασιν, αἱ δεήσεις πεφίμωνται.

*Δόξα. Ἦχος πλ. β΄.*

Ὡς πόλις ὀχυρά, τοῦ παμβασιλέως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἀνεδείχθητε Πατέρες μακάριοι, ἐπάνω ὄρους τῶν ἀρετῶν κειμένη, καὶ δαψιλῶς εὐθυνουμένη, θεαρχικαῖς ἐν λάμψεσι, διὸ λαθεῖν οὐκ ἠδυνήθητε, ὁ γὰρ θαυμαστῶς φωτίζων, ἀπὸ ὀρέων αἰωνίων, ὑμας ἐν κόσμῳ ἐφανέρωσεν, ἀστραπαῖς τῶν θαυμάτων, καὶ ἐξαισίοις τέρασιν, ὅθεν καὶ παῤῥησίας, τυχόντες πρὸς αὐτόν, εἰρήνην τῷ κόσμῳ αἰτήσασθε, καὶ ταῖς ψυχαῖς ἡμῶν, τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον.*

Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τῶν Σῶν Ὁσίων, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

